# TEZAUR LITURGIC

## 2 DECEMBRIE

## GHEORGHIOS GALANOPOULOS

# PARACLISUL SF.PROROC AVACUM

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 02 ΔΕΚΕΜΒΡΙΟΣ

# ΑΒΒΑΚΟΥΜ ΠΡΟΦΗΤΗΣ

# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὸν θεηγόρον τοῦ Κυρίου Προφήτην, τὸν προσημάνατα τὴν σάρκωσιν Λόγου, βουλὴν ἀνεξιχνίαστον ἐκ Κόρης ἁγνῆς, Ἀββακοὺμ πιστοὶ τὸν φήσαντα, ὡς κατάσκιον καὶ δασύ, ὄρος καὶ προφητικῶς, ἐν σκιᾷ καὶ συμβόλοις, Θεὸν ἐπὶ τῆς θείας φυλακῆς, ἐγηγερμένον, ἰδόντα τιμήσωμεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Πρόσδεξαι Ἀββακούμ, τόδ' ᾆσμα. Γεωργίου.*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Παθῶν με ταράττουσι προσβολαί, ἀλλὰ σὺ Προφῆτα, ταῖς πρεσβείαις σου πρὸς Θεόν, παράσχου

ἐκλύτρωσιν ἁπάντων, τῶν δυσμενῶν καὶ ἰσχύϊ σου ζώωσον.

Ῥημάτων ἐνθέων σου Ἀββακούμ, προεῖδες ὡς ὄρος, τὸ κατάσκιον καὶ δασύ, ἁγνὴν Θεομήτορα Παρθένον· διὸ σοῖς λόγοις ἡμῶν νοῦν ἀνύψωσον.

Ὁδὸν ἡμῖν δεῖξον τὴν θεϊκήν, ἣν προὔλεξας πᾶσιν, ὁ ἐπὶ θείας φυλακῆς, σημάνας τὴν ἔγερσιν ἐκ τάφου, τοῦ ζωοδότου καὶ κόσμου ποιήσαντος.

*Θεοτοκίον.*

Σωτῆρα ἐκύησας καὶ Θεόν, Ὃν ἔτεκες Κόρη, ἀνωδίνως ἐν πενιχρῷ, σπηλαίῳ εἰς γένους σωτηρίας, καὶ μητρικῶς δυσωπεῖς ὑπὲρ δούλων Σου.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Δουλωθῆναι προεῖπας Ναβουχοδονόσορι, Ἱερουλαὴμ ὦ Προφῆτα, καὶ τοῦτο γέγονεν· ὅθεν ἡμᾶς ἐξελοῦ, τῆς τῶν παθῶν τυραννίδος, ἐξ ἐχθρῶν δωρούμενος, ἀπελευθέρωσιν.

Ἐκομίσω ἐν θέρους καιρῷ τροφὴν ἔνδοξε, εἰς τὴν Βαβυλῶνα Προφήτην Δανιὴλ θρέψασθαι, καὶ εἶτα εἰς τοὺς ἀγρούς, τοῖς θερισταῖς ἐπανάγων· ὅθεν ἡμᾶς ἔκθρεψον, θείοις σου φθέγμασι.

Ξενοτρόπως προέφης μέλλει Θεὸς ἔσεσθαι, ἐξ ἀπειρογάμου Παρθένου, Ἀββακοὺμ πάντιμε, τῷ δὲ

Πιλάτῳ τολμῶν· δός μοι τὸν ξένον ἐζήτει, ὁ εὐσχήμων ὃν ἡμεῖς, οὐκ ξένον ἔγνωμεν.

*Θεοτοκίον.*

Ἀληθῶς Θεοτόκον πάντες ἡμεῖς ἔχομεν, Σὲ Λόγον Θεοῦ ἐν σπηλαίῳ, ἀφράστως τέξασαν, Τοῦτον δυσώπει ἀεί, ἁμαρτιῶν ἡμῖν δοῦναι, τὴν ὀφλὴν ὡς εὔσπλαγχνος, καὶ μέγα ἔλεος.

Διάσωσον, ἐκ πάσης βλάβης καὶ νόσων τοὺς σὲ τιμῶντας, θεηγόρε καὶ ἱερὲ Ἀββακούμ, ἐν μέλεσι καὶ δὸς τὰ κρείττω λιταῖς σου Προφήτα

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προφῆτα εἰπὼν ὡς ὄρος τὸ κατάσκιον, Παρθένον ἁγνὴν νῦν ἡμεῖς ἐννοοῦμέν σε, σαῖς εὐχαῖς λαμβάνοντες, ὡς χαρίτων δρόσον θεόπνευστε· ὅθεν μὴ παύσῃ θείαν Ἀββακούμ, λιτάζειν βουλὴν ἀνεξιχνίαστον.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἰσχυρὸν περιτείχισμα, πάντες Ἀββακοὺμ κατ᾽ ἐχθρῶν σὲ ἔχομεν· σιὸ πρόσθες σὴν βοήθειαν, ἵνα βέλη τούτων ἀποφεύγωμεν.

Ἀλγηδόνων ἐκλύτρωσαι, τῆς σαρκὸς κινήσεις παῦσον μακάριε, τὰς ἀτάκτους ἱκετεύομεν, σὲ τῶν ἐν Προφήταις θεοῤῥήμονα.

Βαβυλὼν ἡ ταλαίπωρος, ὥς φησὶ Δαυῒδ σὲ κατεῖδεν ἔνδοξε, ἐπισκέπτην ἀντιλήπτορα· ὅθεν δὸς κἀμῖν τὴν σὴν ἀντίληψιν.

*Θεοτοκίον.*

Βλῦσον πᾶσι τὴν χάριν Σου, καὶ περιφρουρεῖν Σῇ ἰσχύϊ Δέσποινα, μὴ ἐλλείπῃς τοὺς ἐν ᾄσμασι, δούλους Σου πιστοὺς Σὲ μεγαλύνοντας.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἄκουε ἡμῶν, τῆς καρδίας τὰ αἰτήματα, ὁ τῷ δακτύλῳ σου δεικνύων τὸ οὖς, ὡς ἔφ' ἁπάντων, σὺ εἶ Ἀββακοὺμ εὐήκοος.

Κόπασον ψυχῆς, τρικυμίαν ἱερώτατε, ὁ γαλήνην δοὺς λαῷ τοῦ Ἰσραήλ, καὶ νέμε κρείττω, θερμαῖς λιταῖς σου παντάπασιν.

Οἴκοις τοῦ Θεοῦ, προσπελάζοντες ὑμνοῦμέν σε, οἱ τιμῶντές σου τὴν μνήμην ψαλμικῶς· διὸ Χριστὸν σύ, εὐχαῖς σου παράσχου ἵλεων.

*Θεοτοκίον.*

Ὕψωσον Υἱῷ, τὰς ἀχράντους Μῆτερ χεῖράς Σου, ὑπὲρ ἡμῶν ἐπταικότων πρὸς Θεόν, ὅπως τοῦ θείου ἐλέους, λιταῖς Σου τύχωμεν.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Μυστήρια, τοῦ Θεοῦ ἐγνώρισας, ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, φήσας πανευκλεές, θεῖε ἱερομῦστα, ὦ Ἀββακοὺμ Προφητῶν ἀγαλλίαμα· διὸ τοὺς μέλποντας ᾠδαῖς, τὴν σεπτὴν ἑορτήν σου χαρίτωσον.

Τὰ τραύματα, τῆς ψυχῆς μου ἴασαι, καὶ σαρκὸς τὰς ἀλγηδόνας Προφήτα· ῥῦσαι παθῶν, πειρασμῶν καὶ ὀδύνης, καὶ ἐλευθέρωσον νόσων καὶ θλίψεων, κινδύνων τε καὶ συμφορῶν, τὸν ὑμνοῦντά σε πόθῳ θεόπνευστε.

Ὁ τάλας, ἐγενόμην ἐπίχαρμα, τοῦ σατᾶν ὡς δοῦλος τῆς ἁμαρτίας· ὅτι κακῶν, ἡ ψυχή μου ἐτρώθη, καὶ ὡς ἀμνὸν πλανηθέντα ἀφήρπασεν, ἀλλὰ πρὸ τέλους ἐκβοῶ· Ἀββακοὺμ προσευχαῖς Σῶτερ σῶσόν με.

*Θεοτοκίον.*

Δούλη ἰδού, τοῦ Θεοῦ εἰμὴ εἶπας, καὶ παντάναξ τῇ γαστρί Σου εἰσέδυ, ὦ Μαριάμ, Ὃν δυσώπει ἀπαύστως, ἡγιασμένη σκηνὴ καὶ εὐρύχωρος, ὑπὲρ ἡμῶν δοῦναι ψυχαῖς, ἱλασμὸν ἐπταικότων καὶ ἔλεος.

Διάσωσον, ἐκ πάσης βλάβης καὶ νόσων τοὺς σὲ τιμῶντας, θεηγόρε καὶ ἱερὲ Ἀββακούμ, ἐν μέλεσι καὶ δὸς τὰ κρείττω λιταῖς σου Προφήτα

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ὡς φρουρόν σε καὶ ἀντιλήπτορα κατέχομεν, Ἀββακοὺμ σεπτὲ καὶ μορφήν σου ἀσπαζόμεθα, ἐκβοῶντές σοι μετὰ δακρύων καὶ προσευχῶν· Προφῆτα Θεοῦ, πρόσχες ἡμῖν, καὶ ἐλευθέρωσον λαόν, τὸν ῥαθύμως διάγοντα, ῥῦσαι δ' ἐκ πάσης βλάβης, αἱρετικῶν καὶ ἀθέων, τὸ γένος τῶν Χριστιανῶν, ἀεὶ πρεσβεύων πρὸς Κύριον.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Μὴ ἅπτεσθε τῶν χρηστῶν μου, καὶ ἐν τοῖς Προφήταις μου μὴ πονηρεύεσθε.*

Στ.: *Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. Ι', Ι-9).*

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς Αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ

ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής, ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν. Ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καί λῃσταί, ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

Δόξα: *Ταῖς τοῦ Σοῦ Προφήτου…*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…*

Μὴ οὖν ἀποῤῥίψῃς με, σαρκὸς τὸν μεμολυσμένον, καὶ παθῶν τὸν ἄστατον, σὲ νῦν καταφεύγοντα πρὸς ἔξεργεσιν, ὕπνου τὸν δείλαιον· διὸ προσπίπτοντα, δέξαι με τιμήν σοι νέμοντα, ἴασιν ἄμφω δός, τάχιστα καὶ ῥῦσαι κακώσεων, θλίψεων ἐξαιρούμενον, καὶ τῶν

χαλεπῶν λυπηρῶν τοῦ βίου, ἵνα μεγαλύνω, τὴν μνήμην ἀρετὰς καὶ θαυμαστά, ἃ κατηργάσω τοῖς λόγοις σου, Ἀββακοὺμ θεσπέσιε.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀεισέβαστον μνήμην σὴν τελοῦντες ἐν πίστει ὦ Ἀββακοὺμ ἱερέ, αἰτούμεθα λιταῖς σου, κολάσεως ῥυσθῆναι, οἱ ἀπαύστως κραυγάζοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σαρκούμενον προεῖδες ἀπειράνδρως ἐκ Κόρης τὸν ἐν ὑψίστοις Θεόν· διὸ Αὐτὸν μὴ παύσῃ, ἱλάσκειν θεηγόρε, σωτηρίαν δωρήσασθαι, καὶ ἐκ δουλείας ἐχθρῶν, ἐλευθερίαν πᾶσι.

Μετὰ τροφῆς ἐπήρθης Βαβυλῶνι κομῖσαι ταύτην σοφῷ Δανιήλ, ἐν λάκκῳ τῶν λεόντων, καὶ τάχει ἐπανῆγες, εἰς ἀγρὸν τοῖς θερίζουσι, σὺν τῷ Ἀγγέλῳ σεπτέ, ἡμᾶς σοῖς λόγοις τρέφων.

*Θεοτοκίον.*

Ἀκτῖσι θείας δόξης καῖ χάριτός σου φαίνεις τοὺς Σὲ ὑμνοῦντας ἁγνή· ἐλθὲ φῶς ἡ τεκοῦσα, πρὸς γένους σωτηρίας, τάχει νῦν καταυγᾶσαί μου, φρενῶν καρδίας ψυχῆς, τὸ ἐρεβῶδες σκότος.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Γάννυται μέγα, πλῆθος ἐν σοὶ Ὀρθοδόξων, καὶ Χριστῷ βοᾷ πανευφροσύνως· σῶσον ἡμᾶς Σῶτερ, ταῖς Ἀββακοὺμ πρεσβείαις.

Ἐλέους θείου, καὶ δωρεῶν ἡμᾶς πλῆσον, ταπεινῶς φρονεῖν ἵν' ἀνυμνοῦμεν, σὲ τὸν τοῦ Δεσπότου, θεόφρονα Προφήτην.

Ὤφθης πολλάκις, μάκαρ πιστοὺς περισκέπων, ὡς παντάνακτος προὔλεξας γένναν· ὅθεν ἡμᾶς ῥῦσαι, Προφῆτα ἐκ κινδύνων.

*Θεοτοκίον.*

Ῥῦσαι γεέννης, τῶν οὐρανῶν πλατυτέρα, καὶ βροτῶν ἁγνὴ ἁγιωτέρα, πάντας τοὺς ὑμνοῦντας, τὴν Σὴν κηδεμονίαν.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Γαλήνιον παράσχου, ὦ Ἀββακοὺμ βίον, πᾶσιν ἡμῖν ἱερεῦσι καὶ δούλοις Χριστοῦ, καὶ ἐξελοῦ λαὸν Τούτου, βλάβης αἱρέσεων.

Ἱκέτευε Σωτῆρα, ὅπως ψυχοφθόρων, ἁμαρτιῶν ἀπαλλάξῃ ἡμᾶς καὶ παθῶν, τοὺς τὴν σὴν μνήμην, ψαλμοῖς Ἀββακοὺμ γεραίροντας.

Ὁ φῶς δοὺς Ἰουδαίοις, ῥήμασί σου θείοις, δὸς ἡμῖν πονηροῦ φεύγειν παγίδων δεσμά, καὶ ἔσο πρόμαχος πάντων τῶν εὐφημούντων σε.

*Θεοτοκίον.*

Ὑψίστου χρυσοῦς θρόνος, ἄσπιλε ὑπάρχεις· διὸ δυσώπει Υἱόν Σου σωθῆναι ἡμᾶς, τοὺς ἀληθῶς Θεοτόκον ὁμολογοῦντάς Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ἄστρον τηλαυγοῦς σὺ ἀνατολῆς, νοητοῦ Ἡλίου, πᾶσιν ἔλλαμψας τοῖς πιστοῖς· ὅθεν ταῖς ἀκτῖσι, χαρίτων σου Προφῆτα, δεῖξον φωτὸς τὴν τρίβον, τοῖς εὐφημοῦσί σε.

Δὸς ἡμῖν ἀμείνω ταῖς σαῖς λιταῖς, Ἀββακοὺμ Κυρίῳ, τὴν εἰρήνην τε καὶ χαράν, ἱλασμὸν πταισμάτων, ταπείνωσιν ἀγάπην, φόβον Θεοῦ σὺν πίστει, πρὸς βίον ἔνθεον.

Μῦστα ἱερώτατε καὶ σοφέ, Ἀββακοῦμ Προφῦρα, θεηγόρε καὶ θαυμαστέ, ὁ Θεὸν κηρύξας, ἐν ὥρᾳ θείας δίκης, ὑπὲρ τῶν σὲ τιμώντων, σωθῆναι μνήσθητι.

Πάρεσο μεσίτης πρὸς τὸν Θεόν, τῶν σὲ ἀνυμνούντων, ὢ θεόοπνευστε Ἀββακούμ, δοῦναι σωτηρίας, ἀπόφασιν ἐν κρίσει, Αὐτοῦ θείῳ ἐλέει, καὶ πάντων ἄφεσιν.

Σῶτερ Σὺ εἶ Κτίστης Δημιουργός, Σύμπαντος καὶ γένους, θείῳ λόγῳ Σου καὶ χερσίν, ὁ ἐνανθρωπήσας, σῶσαι λῃστὰς καὶ πόρνας, ἡμᾶς δὲ Σοῦ Προφήτου, σῶσον δεήσεσι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός

ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· *Κύριε ἐλέησον.* Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.

Πέλεις, θεοφρόνων ὁδηγός, τεῖχος ὀχυρὸν ἀντιλήπτωρ, καὶ εὐσεβῶν ἀρωγός, Ἀββακοὺμ θεόπνευστε, ὁ προσημάνας Θεοῦ, τὴν ἀπόῤῥητον σάρκωσιν, ἐξ ὄρους δασέως, ἀπειράνδρου γυναικός, πρὸς σωτηρίαν λαοῦ· ὅθεν, δίδου πᾶσι τὰ κρείττω, σώζων ἐκ φθορᾶς νοσημάτων, καὶ δεινῶν τοὺς μνήμην σου γεραίροντας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

*Ἀπολυτίκιον. Ἦχος δ’. Ταχὺ προκατάλαβε.*

Συμεὼν φυλῆς ἔνδοξε γόνε, καὶ Σαφὰτ υἱὲ σοφὲ Προφῆτα, λόγοις σου θείοις Ἑβραίους ἐπότισας, καὶ προσημάνσας Θεοῦ Λόγου σάρκωσιν, ἀπὸ Θαιμὰν ἥξει, προὔλεξας Κύριον, τὴν Ἀνάστασιν καὶ τοῦ Ναοῦ τὴν ἐρήμωσιν· διὸ Ἀββακοὺμ ἱκέτευε, Χριστὸν ἡμῖν δοθῆναι μέγα ἔλεος.

